πρώτου ἱερέως· [3]οὗτος Εσδρας ἀνέβη ἐκ Βαβυλῶνος ὡς γραμ- 3
ματεὺς εὐφυὴς ὢν ἐν τῷ Μωυσέως νόμῳ τῷ ἐκδεδομένῳ ὑπὸ τοῦ
θεοῦ τοῦ Ισραηλ, [4]καὶ ἔδωκεν αὐτῷ ὁ βασιλεὺς δόξαν, εὑρόντος 4
χάριν ἐναντίον αὐτοῦ ἐπὶ πάντα τὰ ἀξιώματα αὐτοῦ. [5]καὶ συναν- 5
έβησαν ἐκ τῶν υἱῶν Ισραηλ καὶ τῶν ἱερέων καὶ Λευιτῶν καὶ ἱε-
ροψαλτῶν καὶ θυρωρῶν καὶ ἱεροδούλων εἰς Ιεροσόλυμα ἔτους
ἑβδόμου βασιλεύοντος Ἀρταξέρξου ἐν τῷ πέμπτῳ μηνί (οὗτος ἐνι-
αυτὸς ἕβδομος τῷ βασιλεῖ)· [6]ἐξελθόντες γὰρ ἐκ Βαβυλῶνος τῇ 6
νουμηνίᾳ τοῦ πρώτου μηνὸς ἐν τῇ νουμηνίᾳ τοῦ πέμπτου μηνὸς
παρεγένοντο εἰς Ιεροσόλυμα κατὰ τὴν δοθεῖσαν αὐτοῖς εὐοδίαν παρὰ
τοῦ κυρίου ἐπ᾽ αὐτῷ. [7]ὁ γὰρ Εσδρας πολλὴν ἐπιστήμην περιεῖχεν 7
εἰς τὸ μηδὲν παραλιπεῖν τῶν ἐκ τοῦ νόμου κυρίου καὶ ἐκ τῶν ἐν-
τολῶν διδάξαι τὸν πάντα Ισραηλ πάντα τὰ δικαιώματα καὶ τὰ
κρίματα.

[8]Προσπεσόντος δὲ τοῦ γραφέντος προστάγματος παρὰ Ἀρτα- 8
ξέρξου τοῦ βασιλέως πρὸς Εσδραν τὸν ἱερέα καὶ ἀναγνώστην τοῦ
νόμου κυρίου, οὗ ἐστιν ἀντίγραφον τὸ ὑποκείμενον [9]Βασιλεὺς 9
Ἀρταξέρξης Εσδρα τῷ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ νόμου κυρίου χαί-
ρειν. [10]καὶ τὰ φιλάνθρωπα ἐγὼ κρίνας προσέταξα τοὺς βουλομένους 10
ἐκ τοῦ ἔθνους τῶν Ιουδαίων αἱρετίζοντας καὶ τῶν ἱερέων καὶ τῶν
Λευιτῶν, καὶ τῶν δὲ ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ, συμπορεύεσθαί σοι
εἰς Ιερουσαλημ. [11]ὅσοι οὖν ἐνθυμοῦνται, συνεξορμάτωσαν, καθάπερ 11
δέδοκται ἐμοί τε καὶ τοῖς ἑπτὰ φίλοις συμβουλευταῖς, [12]ὅπως ἐπι- 12
σκέψωνται τὰ κατὰ τὴν Ιουδαίαν καὶ Ιερουσαλημ ἀκολούθως ᾧ
ἔχει ἐν τῷ νόμῳ τοῦ κυρίου, [13]καὶ ἀπενεγκεῖν δῶρα τῷ κυρίῳ τοῦ 13
Ισραηλ, ἃ ηὐξάμην ἐγώ τε καὶ οἱ φίλοι, εἰς Ιερουσαλημ καὶ πᾶν
χρυσίον καὶ ἀργύριον, ὃ ἐὰν εὑρεθῇ ἐν τῇ χώρᾳ τῆς Βαβυλωνίας,
τῷ κυρίῳ εἰς Ιερουσαλημ σὺν τῷ δεδωρημένῳ ὑπὸ τοῦ ἔθνους
εἰς τὸ ἱερὸν τοῦ κυρίου αὐτῶν τὸ ἐν Ιερουσαλημ [14]συναχθῆναι τό 14
τε χρυσίον καὶ ἀργύριον εἰς ταύρους καὶ κριοὺς καὶ ἄρνας καὶ τὰ
τούτοις ἀκόλουθα [15]ὥστε προσενεγκεῖν θυσίας ἐπὶ τὸ θυσιαστήριον 15
τοῦ κυρίου αὐτῶν τὸ ἐν Ιερουσαλημ. [16]καὶ πάντα, ὅσα ἂν βούλῃ 16

2 πρωτου ιερ.] ιερ. του πρ. A: cf. II 7 5 || 3 μωυσ. νομω] tr. A || 4 εναντιον BL†] ενωπιον rel. || 5 ιεροσολ. hic et in 6: cf. 1 47 | ενιαυτος εβδομος compl.] pr. ο A, εν. ο δευτερος B† | τω ult. > B† || 6 εξελθοντος (sic) B | μηνος $1^0 \frown 2^0$ B | επ αυτω B†] επ αυτον L† (trahit haec ad 7: επ αυτον γαρ ο εζδρας ην ος πολλην κτλ.), > rel. || 7 εσδρας] αψαρας B† | εκ $2^0$ > A | διδαξαι] > B†, των προς L† | τον παντα] tr. B | παντα τα et τα ult. > B || 8 δε του γραφ. προσταγμ. > B†, δε του γραφ. > L† | του $2^0$ > B† || 10 και των δε B† (cf. 19. 22. 23 1 47 9 13)] των οντων L†, οντων δε αυτων rel. || 11 συνεξορμασθωσαν B || 12 τα > BL† | ιερουσ.] pr. κατα B | ω B†] οις L†, ως rel. | εν τω νομω] νομω B†, ο νομος L† | του > B || 13 του ισραηλ > BL† | τω κυριω $2^0$ > A† | κυριου BL† (cf. 15)] + θεου rel. || 14 τε > A$^r$† || 15 θυσιας] + τω κυριω A | κυριου] θεου A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/945 UNIVERSITÄT LEIPZIG